www.tezaurim...



ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΜΙΚΡΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ

ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ ΚΑΙ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΗΜΗΤΡΙΟΝ ΤΟΝ ΜΥΡΟΒΛΥΤΗΝ

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

www.tezaurliturgic.ro

Ὁ Ἀναγνώστης. Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ εὐθὺς τό· Θεὸς Κύριος, ἐξ ἑκατέρων τῶν Χορῶν, ὡς ἑξῆς:

Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστὶ θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

www.tezaurliturgic.ro

Εἶτα τὰ παρόντα Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὡς τοῦ Σωτῆρος εὐκλεὴς Ἀθλοφόρος, καὶ εὐσεβούντων βοηθὸς καὶ προστάτης, Μεγαλομάρτυς Ἅγιε Δημήτριε, λύτρωσαι τὴν πόλιν σου, συμφορῶν καὶ κινδύνων, δίδου δὲ τοῖς σπεύδουσι, τῇ πανσέπτῳ σορῷ σου, ἁμαρτημάτων λύσιν καὶ παθῶν, ταῖς πρὸς Θεόν, εὐπροσδέκτοις πρεσβείαις σου.

Δόξα Πατρί..

Μέγαν εὗρατο, ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον, ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθε ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν,

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους· οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

www.tezaurliturgic.ro

Εἶτα ψάλλομεν τοὺς Κανόνες

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

« Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν » διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ » ἡμῶν ᾄσωμεν.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· Ὦ Μῆτερ τοῦ Λόγου, καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον, Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτοια.

www.tezaurliturgic.ro

ε...

Ἰσχύϊ ἀθλήσας τῇ θεϊκῇ, Δημήτριε Μάρτυς, ἰσχύν δίδου κατὰ παθῶν, τῇ σῇ ἀντιλήψει Ἀθλοφόρε, τοῖς τῇ θερμῇ προσιοῦσι πρεσβείᾳ σου.

γιε...

Θαυμάτων παράδοξα ἐνεργῶν, λυτροῦσαι κινδύνων, καὶ παντοίων ἐπιφορῶν, Δημήτριε Μάρτυς τοῦ Κυρίου, τοὺς προσιόντας πιστῶς τῇ πρεσβείᾳ σου.

ζα...

Ἱλέωσαι Μάρτυς ὡς συμπαθής, Χριστὸν τὸν Σωτῆρα, ὡς ἄν εὕρωμεν ἱλασμόν, καὶ λύσιν παθῶν τε καὶ πταισμάτων, οἱ σὲ προστάτην πλουτοῦντες Δημήτριε.

νὺν...

Θεοτοκίον.

Μαρία Παρθένε ἡ ἐν σαρκί, Θεὸν τετοκυῖα, τῆς σαρκὸς μου τὰς χαλεπάς, ἴασαι ὀδύνας καὶ ψυχῆς μου, τὴν σκοτομήνην φωτί σου διάλυσον.

www.tezaurliturgic.ro

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

« Οὐρανίας ἀψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δο-
» μῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ
» ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σὲ Θεογεννῆτορ Παρθένε· σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Ἀγιε...

Ὠδὴ γ΄. Οὐρανίας ἀγκίδος.

www.tezaurliturgic.ro

Ὑπέρ πάντων δυσώπει, τὸν εὐμενῆ Κύριον, πάσης ἐκλυτροῦσθαι ἀνάγκης, καὶ περιστάσεως, Μάρτυς Δημήτριε, τοὺς ἀκλινεῖ διανοίᾳ τῷ ναῷ σου σπεύδοντας, καὶ σὲ γεραίροντας.

Ἀγιε...

Ῥῶσιν δίδου σωμάτων, καὶ τῶν ψυχῶν ἴασιν, καὶ πολυειδῶν συμπτωμάτων, τὴν ἀπολύτρωσιν, Μάρτυς Δημήτριε, ταῖς πρὸς Χριστὸν ἱκεσίαις, τοῖς θερμῶς προστρέχουσι, τῇ προστασίᾳ σου.

Δόξα...

Οἱ τῷ θείῳ ναῷ σου, μετὰ σπουδῆς σπεύδοντες, πάσης λυτρωθείημεν βλάβης, τοῦ πολεμήτορος, Μάρτυς Δημήτριε, καὶ θεϊκῆς εὐσπλαγχνίας, τύχοιμεν πρεσβείαις σου, ἀξιοθαύμαστε.

Καὶ νῦν...

Θεοτοκίον.

Χορηγὸν τοῦ ἐλέους, καὶ οἰκτιρμῶν πέλαγος, τὸν Δημιουργὸν τῶν ἁπάντων, Παρθένε τέξασα, δι' ἀγαθότητα, ἡμᾶς οἰκτείρησον πάντας, τοὺς τὸν ἀνερμήνευτον, ὑμνοῦντας τόκον σου.

Διάσωσον Μεγαλομάρτυς Δημήτριε σαῖς πρεσβείαις, πάσης βλάβης καὶ θλιβερῶν περιστάσεων, τοὺς σὲ μεσίτην πρὸς Κύριον κεκτημένους.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χ
πὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ

Αἴτησις

www.tezaurliturgic.ro

καὶ τὸ Κάθισμα.

Ἦχος β΄. *Πρεσβεία θερμή.*

Προστάτης θερμός, Θεσσαλονίκης πέφηνας, ἐκ πάσης ὀργῆς, καὶ θλίψεως ρυόμενος, Δημήτριε πανεύφημε, τοὺς θερμῶς ἐκβοῶντας ἐκ πίστεως. Ἐπερχομένων ἡμᾶς συμφορῶν, ἀτρώτους διάσωζε δεόμεθα.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

« Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον· κατε-» νόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε. δυσχερείας πάσης ἐκλυτρούμεθα.

www.tezaurliturgic.ro

Ωδὴ δ'. *Εἰσάκηκόα Κύριε.*

Ἅγιε...

Ἐπιφάνηθι Ἅγιε, ἀοράτως ταύτῃ τῇ κληρουχίᾳ σου, καὶ τὴν λύπην διασκέδασον, τὴν νῦν κατασχοῦσαν τὰς ψυχὰς ἡμῶν.

Ἅγιε

Ὑπερήφανον δράκοντα, καθ' ἡμῶν τὰ χείρονα τεκταινόμενον, κατασύντριψον Δημήτριε, τῇ κραταιοτάτῃ προστασίᾳ σου.

Δόξα...

Μὴ ἐλλείπῃς λυτρούμενος πάσης δυσχερείας ταύτην τὴν πόλιν σου, ὡς ἐρρύσω ταύτην Ἅγιε, ἀπειλῆς σεισμοῦ καὶ ὀλοθρεύσεως.

Καὶ νῦν...

Θεοτοκίον.

Ὡς τεκοῦσα ἐν σώματι, τὸν Δημιουργὸν Παρθένε τῆς κτίσεως, καθικέτευε δεόμεθα, πάσης ἡμᾶς ῥύεσθαι κακώσεως.

www.tezaurliturgic.ro

Ὠδὴ ε'. Ὁ Εἱρμός.

« Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βρα-
» χίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν
» φιλάνθρωπε.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀ-
κήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν
αἴτιον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τε-
κοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέ-
χουσαν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτι-
σμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προ-
αιώνιον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀ-
ξιώσασα, καὶ τὴν ὑγιείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

www.tezaurliturgic.ro

Ὠδὴ ε΄. *Φώτισον ἡμᾶς.*

Ἀχιε...

Νόσων καὶ παθῶν, ἀπολύτρωσαι Δημήτριε, τοὺς προσπίπτοντας τῇ θείᾳ σου σορῷ, ἐξ ἧς ρέει Παρακλήτου χάρις ἄφθονος.

Ἀχιε...

Ἠθλησας στερρῶς, καὶ ἡγίασας τὴν πόλιν σου, ταῖς τοῦ αἵματος καὶ μύρου προχοαῖς, ἣν καὶ νῦν ἐκ πάσης ρύου Μάρτυς θλίψεως.

Δόξα...

Μέγαν ἀρωγόν, καὶ προστάτην συμπαθέστατον, κεκτημένοι σε οἱ Θεσσαλονικεῖς, κατὰ χρέος σε γεραίρουσι Δημήτριε.

Καὶ νῦν...

Θεοτοκίον.

Ἄλυπον ἡμῶν, τὴν ζωὴν Παρθένε τήρησον, καὶ ἐκ πάσης ἀθυμίας τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν ἀπάλλαξον δεόμεθα.

www.tezaurliturgic.ro

Ὠδὴ ς'. Ὁ Εἱρμός

« Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς
» θλίψεις· ὅτι κακῶν, ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου
» τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεός
» με ἀνάγαγε.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τοῖς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμόν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεί, ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεόν, καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς· Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

www.tezauditurgicon.gr

Ὠδὴ ἐ.

Ἁγιε...

Χορός σου, Μεγαλομάρτυς ἡ θεία, ὥσπερ ἄλλο ἱλαστήριον θεῖον, Θεσσαλονίκῃ τῇ πόλει σου ὤφθη, ἁγιασμὸν καὶ παθῶν ἀπολύτρωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, τοῖς πιστοῖς χορηγοῦσα Δημήτριε.

Ἁγιε...

Σκανδάλων, καὶ νοσημάτων καὶ πόνων, καὶ σεισμοῦ τῆς ὀλεθρίου μανίας, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου Μάρτυς, τὴν κληρουχίαν σου ἄτρωτον φύλαττε· ὅτι τῇ σῇ διὰ παντός, προστασίᾳ προστρέχει Δημήτριε.

Δόξα...

Κινδύνου, ὡς ἐλυτρώσω παμμάκαρ, ἐκ σεισμοῦ τοῦ βαρυτάτου λιταῖς σου, Θεσσαλονίκην τὴν πόλιν σου Μάρτυς, οὕτως αὐτήν ἀεὶ ἄτρωτον φύλαττε, ἐπερχομένων συμφορῶν, παρρησίαν πλουτῶν πρὸς τὸν Κύριον.

Θεοτοκίον.

Καὶ νῦν...

Ἐτέχθη, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τὸ εἶναι δεδωκὼς πᾶσι Κόρη, ἐκ τῆς φθορᾶς ἐξαιρούμενος πάντας, τοὺς προσκυνοῦντας τὸ μέγα μυστήριον, τοῦ τοκετοῦ σου τοῦ φρικτοῦ, Θεοτόκε Παρθένε Πανύμνητε.

Διάσωσον Μεγαλομάρτυς Δημήτριε σαῖς πρεσβείαις, πάσης βλάβης καὶ θλιβερῶν περιστάσεων, τοὺς σὲ μεσίτην πρὸς Κύριον κεκτημένους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, τεκοῦσα τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν ρησίαν.

www.tezaurliturgic.ro

Ἦχος β΄. *Τοῖς τῶν αἱμάτων σου.*

Πάλαι μὲν μύρον εὐῶδες ἀνέβλυζεν, ἡ σὴ σορὸς ἡ ἁγία Δημήτριε· νῦν δὲ παρέχει τὴν χάριν τοῦ Πνεύματος, τοῦ ἐν αὐτῇ ἐνοικοῦντος μακάριε, τοῖς πίστει καὶ πόθῳ προστρέχουσι.

Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικεί-

www.tezaurliturgic.ro
μενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Δόξα. *Ταῖς τοῦ Ἀθλοφόρου....*

Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον.

Ἦχος πλ. β΄. *Ὅλην ἀποθέμενοι.*

Στίχ. *Ἐλέησον με ὁ Θεός ...*

Ὅλη μετὰ πίστεως, τῇ σῇ θερμῇ προστασίᾳ, Ἅγιε Δημήτριε, σπεύδουσα ἡ πόλις σου ἀνακράζει σοι. Ὡς ποτὲ ἔσωσας, καὶ πολλάκις Μάρτυς, χαλεπῶν με περιστάσεων, οὕτω διάσωζε, καὶ ἐπερχομένων κακώσεων, λαόν σου τὸν θεόφρονα, τὸν εἰλικρινῶς πεποιθότα σοι, πταισμάτων τὴν λύσιν, αἰτούμενος ἡμῖν παρὰ Χριστοῦ, καὶ νοσημάτων τὴν ἴασιν, καὶ παθῶν ἐκλύτρωσιν.

www.tezaurliturgic.ro

Ὁ Ἱερεύς

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ, ἐφ' ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· των αγιων καὶ Δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας, ἐὰν ἑορτάζηται) καὶ πάντων σου τῶν Ἁγίων, ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Καὶ ἡμεῖς τό· Κύριε, ἐλέησον (12άκις).

Ὁ Ἱερεύς·

Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἀποπληροῦμεν τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

www.tezaurliturgic.ro

Ὠδὴ ς'. Ὁ Εἱρμός.

« Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνι ποτέ,
» τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπά-
» τησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

www.tezaurliturgic.ro

Ἁγιε...

Ὠδὴ ζ΄. *Οἱ ἐκ τῆς Ἰουδαίας.*

Πειρασμῶν ἀδοκήτων, καὶ σεισμῶν βαρυτάτων ἡμᾶς ἀπάλλαξον, τῇ σῇ ἐπιστασίᾳ, Δημήτριε τρισμάκαρ, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἁγιε...

Ὡς λειμὼν πανευώδης, ἡ σορὸς τῶν λειψάνων σου πνέει πάντοτε, ὀσμὴν ἀθανασίας, ἡμῶν τὰς διανοίας, μυστικῶς κατευφραίνουσαν, καὶ τὸ δυσῶδες παθῶν, Δημήτριε σοβοῦσαν.

Δόξα

Νεκρωθεὶς τῇ κακίᾳ, τῇ θερμῇ σου πρεσβείᾳ σπεύδω Δημήτριε, καὶ πίστει ἐκβοῶ σοι. Νέκρωσον τῶν παθῶν μου, τὰ σκιρτήματα ἅπαντα, καὶ ζώωσόν μου τὸν νοῦν, τῇ χάριτί σου Μάρτυς.

Καὶ νῦν...

Θεοτοκίον.

Γνώσει λάμπρυνον θείᾳ, τὸν ἀγνώμονα νοῦν μου Παρθένε Ἄχραντε, ὡς ἂν τῆς μετανοίας, πορεύσωμαι τὰς τρίβους, καὶ ζωῆς τύχω κρείττονος, ὁ καταφεύγων Ἁγνή, τῇ κραταιᾷ σου σκέπῃ.

www.tezauruliturgic.ro

« Τὸν Βασιλέα τῶν Οὐρανῶν, ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγ-
» γέλων, ὑμνεῖτε καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστόν σου τόκον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σὲ δοξάζω τὴν Κεχαριτωμένην.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε, ὅθεν σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Ὠδὴ η. *Τὸν Βασιλέα.*

Ἁγιε...

Ἔ χει σε πόλις, Θεσσαλονίκη προστάτην, διὰ τοῦτο σου Δημήτριε κηρύττει, τὰς εὐεργεσίας, καὶ χάριτος τὸν πλοῦτον.

Ἁγιε...

Ῥ ύου ἀπαύστως, ἐπιφορῶν καὶ κινδύνων, τοὺς προστρέχοντας τοῖς θείοις σου Λειψάνοις, καὶ τὴν σὴν πρεσβείαν, Δημήτριε ζητοῦντας.

Δόξα...

Ἅ ὕλου μύρου, τῇ μυστικῇ εὐωδίᾳ, τῶν παθῶν ἡμῶν τὴν δυσωδίαν λῦσον, ἵνα σε τιμῶμεν, Δημήτριε παμμάκαρ.

Καὶ νῦν...

Θεοτοκίον.

Σ ὺ εἶ Παρθένε, ὡς τοῦ Θεοῦ ἡμῶν Μήτηρ, καταφύγιον καὶ λύτρον ἐν ἀνάγκαις, τῶν ὑπεριψούντων, τὸν ἄφραστον σου τόκον.

www.tezaurliturgic.ro

« Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι,
» Παρθένε, ἁγνή, σὺν Ἀσωμάτοις χορείαις, σὲ μεγαλύ-
» νοντες.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου, πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς·

Λιμὴν καὶ προστασία τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας ταπεινωθέντα, Παρθένε θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν μετακευάζουσα.

www.tezaurliturgic.ro

Ἁγιε...

Ὠδὴ θ΄. *Κυρίως Θεοτόκον.*

Ἰάσεις ἀναβλύζει, ἡ σεπτή σορός σου, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ἅγιε, τοῖς ἀδιστάκτῳ καρδίᾳ σε μεγαλύνουσι.

Ἁγιε...

Μαστίγων ὀλεθρίων, καὶ σεισμοῦ μανίας, Θεσσαλονίκην τὴν πόλιν σου φύλαττε, Μεγαλομάρτυς Δημήτριε εὐφημοῦσάν σε.

Δόξα...

Οἱ πίστει προσιόντες, τῇ σεπτῇ σορῷ σου, ἐπηρειῶν χαλεπῶν ἀπαλλάττονται, καὶ κατὰ χρέος Δημήτριε ἀνυμνοῦσί σε.

Καὶ νῦν...

Θεοτοκίον.

Ὑψίστου ἡ καθέδρα, Κεχαριτωμένη, τὴν πεπτωκυῖαν ψυχήν μου τοῖς πάθεσι, πρὸς πολιτείας ἁγίας ὕψωσον ἔλλαμψιν.

Τὸ *Ἄξιον ἐστὶ* καὶ τὰ μεγαλυνάρια.

www.tezaurliturgic.ro

Καὶ εὐθὺς τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ θυμιᾷ ὁ Ἱερεὺς τὸ Θυσιαστήριον καὶ τὸν Λαόν, ἢ τὸν οἶκον ὅπου ψάλλεται ἡ Παράκλησις· καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, καὶ Θεσσαλονίκης, πολιοῦχος ὁ εὐκλεής· χαίροις Μυροβλύτα, Δημήτριε παμμάκαρ, ἡμῶν πρὸς τὸν Σωτῆρα, πρέσβυς θερμότατος.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν, λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Δέδεκται ἐν κόλποις τὴν ἱεράν, σορόν σου παμμάκαρ, ὡς οὐράνιον θησαυρόν, ἡ Θεσσαλονίκη, ἧς πάλαι ἐστερήθη, καὶ πόθῳ εὐφημεῖ σε Μάρτυς Δημήτριε.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην· ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Λυτρωσαι κινδύνων παντοδαπῶν, Δημήτριε Μάρτυς, καὶ παντοίων δυσχερειῶν, τοὺς τὴν σὴν πρεσβείαν, ἀπὸ ψυχῆς αἰτοῦντας, καὶ τῇ σεπτῇ σορῷ σου, πίστει προσπίπτοντας.

www.tezaurliturgic.ro

Δέσποινα καὶ μήτηρ τοῦ Δυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα· Ὦ Δέσποινα τοῦ κόσμου, γενοῦ μεσίτριά.

Ὡς ἐρρύσω Μάρτυς φθορᾶς σεισμοῦ, τὴν Θεσσαλονίκην, τῇ θερμῇ σου ἐπισκοπῇ, οὕτω ταύτην ρύου, καὶ πᾶσαν τὴν Ἑλλάδα, ἐπερχομένων πόνων, καὶ περιστάσεων.

Ψάλλομεν προθύμως σοι τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ, χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Μύρου εὐωδίᾳ τοῦ νοητοῦ, Μυροβλύτα Μάρτυς, ἀποδίωξον ἀφ' ἡμῶν, παθῶν ἀκαθάρτων, τὴν δυσωδίαν θᾶττον, καὶ τῶν πταισμάτων αἴτει, ἡμῖν τὴν ἄφεσιν.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Ἴδε τοὺς ἑστῶτας πανευλαβῶς, τῇ σεπτῇ σορῷ σου, Μυροβλύτα Μάρτυς σοφὲ καὶ ἅπασι δίδου, τὰς σωτηρίους δόσεις, τὴν καθ' ἡμῶν μανίαν, λύων τοῦ δράκοντος.

Τὸν μέγαν ὁπλίτην καὶ Ἀθλητήν, τὸν στεφανηφόρον, καὶ ἐν Μάρτυσι θαυμαστόν, τόν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro

Ὁ Ἀναγνώστης·

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπολυτίκιον.

Μέγαν εὕρατο, ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον, ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθε ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου (τῆς ἡμέρας) καὶ τὸ Θεοτοκίον τοῦ αὐτοῦ Ἦχου.

www.tezaurliturgic.ro

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προσπίπτοντας πιστῶς, τοῖς σοῖς μυριπνόοις λειψάνοις, καὶ δυσωπούντας σε, Ἅγιε Δημήτριε, Μεγαλομάρτυς Χριστοῦ, ρῦσαι πάσης κακώσεως, σεισμοῦ τε ἀνάγκης, καὶ παντοίων θλίψεων, ψυχῆς καὶ σώματος, ἔχων πρὸς Χριστὸν παρρησίαν, καὶ πληρῶν ἀεὶ τὰς αἰτήσεις, τῶν εἰλικρινῶς μακαριζόντων σε.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ Ἱερεύς·

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν..



www.tezaurliturgic.ro

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς ὁ Θεός...

Ἔτι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν...

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου..

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης...

(Καὶ μνημονεύει πάλιν, ὑπὲρ ὧν ἡ Παράκλησις γίνεται).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν (ἢ χώραν, ἢ νῆσον) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεόν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεός ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεὺς ποιεῖ μικρὰν Ἀπόλυσιν·

Δόξα σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· (τοῦ ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ Δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας, οὗ τὴν μνήμην ἐπιτελοῦμεν) καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.